ΧΟ. Ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ.
ΤΡ. Καὶ πῶς; Ὀρέςης ἐλπὶς οἴχεται δόμων.
ΧΟ. Οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
ΤΡ. Τί φής; ἔχεις τι τῶν λελεγμένων δίχα;
ΧΟ. Ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεςαλμένα·
Μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι.
ΤΡ. Ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις.
Γένοιτο δ' ὡς ἄριςα σὺν θεῶν δόσει.

Στροφὴ ά.

ΧΟ. Νῦν παραιτουμένῃ μοι πάτερ Ζεῦ θεῶν Ὀλυμπίων,
Δὸς τύχας, τυχεῖν (δέ) μοι κυρίως
Τὰ σώφρο(σι)ν εὖ μαιομένοις ἰδεῖν.
Διὰ δίκας(αι) πᾶν ἔπος
Ἔλακον, † Ζεῦ· σὺ δέ νιν φυλάσσοις.

Στροφή β'.

Ἓ ἕ, πρὸ δὲ δὴ ἐχθρῶν τῶν ἔσω [θὲν] μελάθρων (ὦ) Ζεῦ,
Δίδυμα καὶ τριπλᾶ (θές· ἐπεί μιν μέγαν ἄρας,
Παλίμποινα θέλων ἀμείψει.

Ἀντιςροφή ά.

†Ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι
Πημάτων, ἐν δρόμῳ προςτιθεὶς